1568



τοῖς κειμένοις. εὖ δ' ἴσε, ὦ Ἀθηναῖοι, ὅτι τὰ μὲν τῶν 3
δημοκρατουμένων σώματα ϗ τὴν πολιτείαν οἱ νόμοι σώ-
ζεσι, τὰ δὲ τῶν τυράννων ϗ τῶν ὀλιγαρχικῶν, ἀπι-
σία, ϗ ἡ μετὰ τῶν ὅπλων φρουρά. φυλακτέον δὴ τοῖς 4
μὲν ὀλιγαρχικοῖς, ϗ τοῖς τὴν ἄνισον πολιτείαν πολι-
τευομένοις, τοὺς ἐν χειρῶν νόμῳ τὰς πολιτείας καταλύον-
τας· ὑμῖν δὲ τοῖς τὴν ἴσην ϗ τὴν ἔννομον πολιτείαν ἔχου-
σι, τὰς παρὰ τοὺς νόμους ἢ λέγοντας ἢ βεβιωκότας
κολάζειν. ἐντεῦθεν γὰρ ἰχύσετε, ὅταν εὐνομῆσθε, ϗ
μὴ καταλύησθε ὑπὸ τῶν παρανομούντων, ϗ ἀσελγῶς
βιούντων. προσήκειν δ' ἔγωγε νομίζω, ὅταν μὲν νομο- 5
θετῶμεν, τοῦθ' ἡμᾶς σκοπεῖν, ὅπως καλῶς ἔχοντας
ϗ συμφέροντας νόμους τῇ πολιτείᾳ θησοίμεθα· επειδὰν 6
δὲ νομοθετήσωμεν, τοῖς νόμοις τοῖς κειμένοις πείθεσθαι,
τοὺς δὲ μὴ πειθομένους κολάζειν, εἰ δεῖ τὰ τῆς πόλεως
καλῶς ϗ εὖ ἔχειν. σκέψασθε γὰρ, ὦ Ἀθηναῖοι, ὅσην 7
πρόνοιαν περὶ σωφροσύνης ἐποιήσατο Σόλων, ἐκεῖνος
ὁ παλαιὸς νομοθέτης, ϗ ὁ Δράκων, ϗ οἱ κατὰ τοὺς
χρόνους ἐκείνους νομοθέται. πρῶτον μὲν γὰρ περὶ τῆς 8
σωφροσύνης τῶν παίδων τῶν ἡμετέρων ἐνομοθέτησαν,
ϗ διαῤῥήδην ἀπέδειξαν, ἃ χρὴ τὸν παῖδα τὸν ἐλεύθερον
ἐπιτηδεύειν, ϗ ὡς δεῖ αὐτὸν τραφῆναι· ἔπειτα δεύτερον,
περὶ τῶν μειρακίων· τρίτον δ' ἐφεξῆς, περὶ τῶν ἄλλων 9
ἡλικιῶν· ꙋ μόνον δὲ περὶ τῶν ἰδιωτῶν, ἀλλὰ ϗ περὶ τῶν

μὲν, τυραννίδα· ἀριστοκρατία δὲ, ὀλιγαρχίαν· δημοκρατία δὲ, (ἢ μᾶλλον νομοκρατία) ὀχλοκρατίαν. (3) ἀπισία] τὸ μὴ πισεύειν τινὶ, ἀλλὰ φυλάττεσθαι, ὡς προσήκει τυράννϰς ὄντας. τὸ δὲ, ὀλιγαρχικῶν, ἔτω διώρθωσα ἀντὶ τϰ, ὀλιγαρχιῶν, ὡς ἐκ τῶν ἡγϰμένων ϗ ἑπομένων ἀκόλϰθον ἦν. ϗ ἐξ εἰκασίας ἔτι Ταυλώρϰ, ἤτοι Ῥείσκϰ τὸ πρότερον δοκιμάζοντος. (4) ἐν νόμῳ χειρῶν] ὅ ἐσι, τῇ βίᾳ· τϰ̃το γὰρ ἂν εἴη νόμος χειρὸς, ϗ νόμος ὅπλων, τὸ διὰ μάχης τι πράττειν. (4) κολάζειν] ἀντὶ τϰ̃, κολασέον. μέμνημαι γάρ πϰ ϗ παρὰ Δημοσθένει εὑρὼν τὸ αὐτὸ σχῆμα, ἐπειδὰν τεθῶσι δύο θετικὰ ἐπιῤῥήματα τὸ δεύτερον ἀναλυθὲν εἰς τὸ Ἀπαρέμφατον ϗ συνεζευγμένον τὸ, δεῖ, εἰς ἐξάρτησιν ἐκ τϰ̃ ἡγϰμένϰ. ὁ δὲ Ῥείσκης προσέθηκε τὸ ἄρθρον, τὸ κολάζειν, εἰπὼν, μηδὲν δέον. (7) Δράκων] νομοθέτης παλαιότερος ἑκατὸν ἔτη Σόλωνος.